# 22 MAI

# EGKOMIA SF.DESPOT-MUCENIC IOAN-VLADIMIR AL SERBIEI

## EGKOMIER-GR

www.tezaurliturgic.ro



# Ἐγκώμια ἁγ. Βασιλέως ΙΩΑΝΝΟΥ ΒΛΑΔΙΜΗΡΟΥ

Ποίημα Θεοδώρου Χατζηφιλιππίδου τοῦ Ἐλβασανίτου,
διορθωθέν ὑπό Ἀντωνίου Μάρκου (1982).

## Στάσις Πρώτη. Ἡ ζωή ἐν τάφῳ.

**Ὑ**μνογράφοι πάντες* συναθροίσθητε νῦν,* σύν ἐμοί τοῦ ἀνυμνεῖν τόν Βλαδίμηρον,* Ἰσαπόστολον τόν ὄντως φαεινόν.

**Μ**έμνησο τῶν πίστει,* τῶν ἐν τῷ σῷ ναῷ,* προσερχομένων καί αἰτουμένων τήν ἄφεσιν,* τοῦ λαβεῖν ταῖς σαῖς πρεσβείαις πρός Θεόν.

**Ν**υμφῶνος τοῦ προσκαίρου,* βδελυττόμενος σύ,* τόν οὐράνιον ἀπέλαβες, Ἔνδοξε,* συνηδόμενος ἀρρήτῳ ἡδονῇ.

**Ο**ἱ ἐν ἐπωδύνοις* ἀλγηδόσι πιστοί,* τῷ ἀμίσθῳ ἰατρῷ νῦν προσέλθετε,* ἵνα λάβητε τήν ῥῶσιν τῶν παθῶν.

**Ὕ**μνους ἐξοδίους,* τῶν Ἀγγέλων χοροί* καί ἀνθρώπων ἀπονέμουσιν, Ἅγιε,* σοῦ τρωθέντος ὑπό τῶν συγγενῶν.

**Σ**ύν τοῖς μεγιστᾶσι* τόν ὀφθέντα Σταυρόν* π
ροσκυνήσας, ἐν αὐτῷ κατεδάφησας,*
τῶν δαιμόνων δύναμιν τήν καθ' ἡμῶν.

**Ἱ**ερομονάχους* τούς τό σκῆνος τό
σόν* αἴροντας ἀβλαβεῖς διατήρησον*,
περισκέπων αὐτούς διηνεκῶς.

**Ἄ**γγελον ἐν εἴδει,*
ἴδες τοῦ ἀετοῦ* ἐπιφέροντος Σταυρόν τοῖς μετέφρε
σι,* δι' οὗ ἔγνωκας τήν ἄνωθεν ζωήν.

**Ν**εῦσον, Μυροβλύτα,* θωρακίσαι ἡμᾶς,*
ῥείθροις ἐκ τῶν θείων Λειψάνων σου,* τῶν δαιμό
νων τήν ἰσχύν καταβαλών.

**Ὡ**ς Μωσέως θήβη,* ἐν θαλάσσῃ ποτέ,*
τοῦ Λειψάνου σου ἡ θήκη διέδρασεν,*
ἐπιπλεύσασα τόν νέον Φαραώ.

**Σ**ταυρός σοι ἐφάνη* Κωνσταντίνῳ καθά,*
οὐρανόθεν ἐν τῷ τόπῳ οὗ τό σῶμα σου,*
τά νῦν κεῖται ὡς μυρίπνους θησαυρός.

**Δ**ός Χριστέ τήν λύσιν,* Ἰησοῦ μου κἀμοί,*
ὀφλημάτων ἅπερ ἔπραξα δέομαι,*
ἱκεσίαις Ἰωάννου τοῦ Σοφοῦ.

**Ὤ**φθης φωτοδότης* Ἀλβανίας σοφέ,*
ὡς διδάξας τό ὄνομα σέβασθαι* τό πανάγιον Τριά
δος τῆς Σεπτῆς.

*Δόξα. Τριαδικόν.*

**Π**άτερ, Λόγε, Πνεῦμα,* Τρισυπόστοτον Φῶς,*
ταῖς λιταῖς Ἰωάννου κατάπεμψον* τά ἐλέη Σου πλ
ουσίως ἐφ' ἡμᾶς.

*Καί νῦν. Θεοτοκίον.*

**Ἡ** Θεόν τεκοῦσα* ὑπέρ φύσιν σαρκί,* δυσωποῦμεν μή ἐλλείπης πρεσβεύουσα* τῷ Υἱῷ Σ ου καί Θεῷ ὑπέρ ἡμῶν.

*Στάσις Δευτέρα. Αἱ γενεαί πᾶσαι.*

**Α**ἱ γενεαί πᾶσαι* μακαρίζομέν σε,* Βλαδίμηρε Τρισμά-αρ.

**Δ**εῦτε νῦν ἐν ὕμνοις* κυκλώσωμεν τόν τάφον,* τοῦ θείο υ Ἰωάννου.

**Τ**όν Μάρτυρα Κυρίου* τιμήσωμεν προθύμως,* ἐν τῷ αὐτοῦ τεμένει.

**Π**ροσδράμωμεν ἐν φόβῳ* τῇ σορῷ τῇ θείᾳ* τοῦ Μάρτυρος Κυρίου.

**Μ**ῦρον ἐξ ἀκενώτου* τῆς θήκης Ἰωάννου,* ἰάσεις νῦν δωρεῖται.

**Ἐ**ν οὐρανίοις θώκοις,* μετά τῶν μακαρίων,* κατάπαυσιν νῦν εὗρες.

**Ὦ** Ἰωάννη Μάκαρ,* τῆς Ἀλβανίας κλέος,* Ἰλλυρικοῦ ἡ δόξα.

**Μ**εγάλων χαρισμάτων,* χαριτοβρύτων δώρων,* τά νάματα προχέεις.

**Σ**κέπασον, Μυροβλύτα,* τούς ὧδε προσδραμόντας,* σήν ἑορτήν τελέσαι.

**Μ**ετά Ἁγίων Πάντων* καί τῶν ἀΰλων Νόων,* νῦν συνδοξάζῃ, Μάκαρ.

**Ε**ἷς ἄφρων συγγενής σου,* ἀπέτεμε τήν κάραν* τήν σήν τιμίαν, Μάκαρ.

**Τ**οῖς πόθῳ τε καί φόβῳ* τό σκῆνος σου τι μῶσι,* δίδου τά πρός συμφέρον.

**Τ**μηθείς ἐφ' ἡμιόνος* φέρεις τήν σήν κάραν* είς τόπον εὐδοκί ας.

**Κ**ατά τῆς Ἄγαρ γένους,* ὁπλίζου ἡμᾶς ρῦσαι,* ἀεί τοῦ τυραννοῦντος.

**Π**ᾶσα πνοή καί φύσις* εὐφραίνονται συμφώνως,* τῇ μνήμῃ Ἰωάννου.

**Ὦ** Χαριτοβρύτα* καί Μάρτυς Μυροβλύτα,* τούς σέ ὑμνούντας σκέπε.

**Τ**ούς σοῦ περικυκλοῦντας* τόν τάφον πάντας σῶσον,* ἐπηρειῶν παντοίων.

**Τ**ῆς Ἀλβανίας Γένος,* σύν τῷ τῆς Βουλγαρίας,* δοξάζουσί σε, Μάκαρ.

**Ν**ίκην Ὀρθοδόξοις,* ὡς Βασιλεύς παράσχου,* κατά τῶν ἀντιπάλων.

**Ε**ἰρήνην τοῖς σοῖς δούλοις,* ὁμόνοιαν καί ῥῶσιν,* δώρησαι τήν κατ' ἄμφω.

**Ὡ**ς παρρησίαν ἔχων,* πρέσβευε ὑπέρ πάντων,* τυχεῖν τῆς ἄνω δόξης.

**Δ**οξάσωμεν ἐν δόξῃ,* τόν δοξάσαντά σε,* ἵνα συνδοξασθῶμεν.

Δόξα. Τριαδικόν.

**Τ**ῷ θρόνῳ τῆς Τριάδος,* σύ παρεστώς πρεσβεύεις,* ὑπέρ τῶν σέ τιμώντων.

*Καί νῦν. Θεοτοκίον.*

**Ἡ** Θεοτόκος Κόρη,* Ἐμμανουήλ ἡ Μήτηρ,* Βλαδίμηρε σέ στέφει.